αὐτὴν οἶκος Ισραηλ ἡμέρας ἑπτά. καὶ διεῖλεν τὰ ὑπάρχοντα
αὐτῆς πρὸ τοῦ ἀποθανεῖν αὐτὴν πᾶσι τοῖς ἔγγιστα Μανασση τοῦ
25 ἀνδρὸς αὐτῆς καὶ τοῖς ἔγγιστα τοῦ γένους αὐτῆς. [25]καὶ οὐκ ἦν
ἔτι ὁ ἐκφοβῶν τοὺς υἱοὺς Ισραηλ ἐν ταῖς ἡμέραις Ιουδιθ καὶ μετὰ
τὸ ἀποθανεῖν αὐτὴν ἡμέρας πολλάς.

24 οικος] pr. ο *SL*†, pr. πας compl., pr. πας ο 58† | ημερας] pr. επι S† | τοις εγγιστα 1⁰ ⌒ 2⁰ S† || 25 fin.] + αμην *BL*†: cf. Tob. 14 15
Subscr. ιουδειθ BSA

## ΤΩΒΙΤ

1 [1]Βίβλος λόγων Τωβιτ τοῦ Τωβιηλ τοῦ Ανανιηλ τοῦ Αδουηλ τοῦ BA
2 Γαβαηλ ἐκ τοῦ σπέρματος Ασιηλ ἐκ τῆς φυλῆς Νεφθαλιμ, [2]ὃς ἠχ-
μαλωτεύθη ἐν ἡμέραις Ενεμεσσαρου τοῦ βασιλέως Ἀσσυρίων ἐκ
Θισβης, ἥ ἐστιν ἐκ δεξιῶν Κυδιως τῆς Νεφθαλιμ ἐν τῇ Γαλιλαίᾳ
ὑπεράνω Ασηρ.
3 [3]Ἐγὼ Τωβιτ ὁδοῖς ἀληθείας ἐπορευόμην καὶ δικαιοσύνης πάσας
τὰς ἡμέρας τῆς ζωῆς μου καὶ ἐλεημοσύνας πολλὰς ἐποίησα τοῖς

Tob. textus uulgaris: BA; in *L* hic liber deest (pars huius libri in 108 ab alia manu addita est). — de „Fr." cf. inf.
1 1 αδουηλ] ναυη A† | γαβαηλ] γαμαηλ A†: cf. 4 20 || 2 θισβης] σ > A | κυδιων A || 3 δικαιοσυνης] ς > B†

---

1 [1]Βίβλος λόγων Τωβιθ τοῦ Τωβιηλ τοῦ Ανανιηλ τοῦ Αδουηλ τοῦ S
Γαβαηλ τοῦ Ραφαηλ τοῦ Ραγουηλ ἐκ τοῦ σπέρματος Ασιηλ ἐκ φυλῆς
2 Νεφθαλιμ, [2]ὃς ἠχμαλωτεύθη ἐν ταῖς ἡμέραις Ενεμεσσαρου τοῦ βα-
σιλέως τῶν Ἀσσυρίων ἐκ Θισβης, ἥ ἐστιν ἐκ δεξιῶν Κυδιως τῆς
Νεφθαλιμ ἐν τῇ ἄνω Γαλιλαίᾳ ὑπεράνω Ασσηρ ὀπίσω ⟨ὁδοῦ⟩ δυ-
σμῶν ἡλίου ἐξ ἀριστερῶν Φογωρ.
3 [3]Ἐγὼ Τωβιθ ὁδοῖς ἀληθείας ἐπορευόμην καὶ ἐν δικαιοσύναις πάσας
τὰς ἡμέρας τῆς ζωῆς μου καὶ ἐλεημοσύνας πολλὰς ἐποίησα τοῖς

Tob. S: hic textus non nisi in cod. S inuenitur; cuius codicis compluria errata emendauit Fr. = O. F. Fritzsche Libri apocryphi V. T. graece (Lips. 1871). hunc textum corrector septimi saeculi quibusdam locis ad textum uulgarem adaptauit, ex. gr. 1 5 παντες οι αδελφοι μου in textu delens et πασαι αι φυλαι αι συναποστασαι εθυον τη βααλ τη δαμαλι in margine adscribens; quas correctiones, ubi cum BA concordant, praetereo.
Inscr. τωβειθ: sic S plerumque, sed cf. 3 17
1 2 ⟨οδου⟩ add. Fr. secutus Uet. Lat.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/1054 UNIVERSITÄT LEIPZIG